ἐπεὶ γὰρ σύμμετρά ἐστι τὰ ΑΒ ΒΓ. μετρήσει τι αὐτὰ μέγεθος·
μετρείτω καὶ ἔστω τὸ Δ. ἐπεὶ οὖν τὸ Δ τὰ ΑΒ ΒΓ μετρεῖ·
καὶ ὅλον τὸ ΑΓ μετρήσει. μετρεῖ δὲ καὶ τὰ ΑΒ ΒΓ· τὸ Δ ἄρα
τὰ ΑΒ ΒΓ ΑΓ μετρεῖ. σύμμετρον ἄρα ἐστὶ τὸ ΑΓ ἑκατέ-
ρῳ τῶν ΑΒ ΒΓ. ἀλλὰ δὴ τὸ ΑΓ [illegible] ἑνὶ τῶν ΑΒ ΒΓ σύμ-
μετρον. ἔστω δὴ τῷ ΑΒ·
λέγω δὴ ὅτι καὶ τὰ ΑΒ ΒΓ
σύμμετρά ἐστιν. ἐπεὶ γὰρ
σύμμετρά ἐστι τὰ ΓΑ ΑΒ
[illegible] μέγεθος·
[illegible] ἔστω
[illegible] τὰ ΓΑ
καὶ λοιπὸν ἄρα τὸ ΒΓ με-
τρήσει· μετρεῖ δὲ καὶ τὸ ΑΒ·
τὸ Δ ἄρα τὰ ΑΒ ΒΓ μετρή-
σει· σύμμετρα ἄρα ἐστὶ
τὰ ΑΒ ΒΓ· ἐὰν ἄρα δύο μεγέθη [illegible] :



ιη Ἐὰν δύο μεγέθη ἀσύμμετρα συντεθῇ, καὶ τὸ ὅλον ἑκατέ-
ρῳ αὐτῶν ἀσύμμετρον ἔσται· κἂν τὸ ὅλον ἑνὶ αὐτῶν
ἀσύμμετρον ᾖ, καὶ τὰ ἐξ ἀρχῆς μεγέθη ἀσύμμετρα ἔσται·
συγκείσθω γὰρ δύο μεγέθη ἀσύμμετρα τὰ ΑΒ ΒΓ· λέ-
γω ὅτι καὶ ὅλον τὸ ΑΓ ἑκατέρῳ τῶν ΑΒ ΒΓ ἀσύμμε-
τρόν ἐστιν· εἰ γὰρ μή εἰσιν ἀσύμμετρα τὰ ΓΑ ΑΒ· με-
τρήσει τι αὐτὰ μέγεθος· μετρείτω εἰ δυνατόν, καὶ ἔστω
τὸ Δ· ἐπεὶ οὖν τὸ Δ τὰ ΓΑ ΑΒ μετρεῖ, καὶ λοιπὸν ἄρα
τὸ ΒΓ μετρήσει· μετρεῖ δὲ καὶ τὸ ΑΒ· τὸ Δ ἄρα

[illegible]

μετρεῖ· σύμμετρα ἄρα ἐστὶ τὰ ΑΒ ΒΓ· ὑπόκειται δὲ
μέτρα· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τὰ ΓΑ ΑΒ
τι μέγεθος· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ΓΑ ΑΒ· ὁ
δείξομεν ὅτι καὶ τὰ ΑΓ ΓΒ ἀσύμμετρά ἐστιν· τὸ
ἑκατέρῳ τῶν ΑΒ ΒΓ ἀσύμμετρον· ἀλλὰ δὴ τὸ ΑΓ
τῶν ΑΒ ΒΓ ἀσύμμετρον ἔστω· ἔστω δὴ πρότερον τῷ ΑΒ· λέ-
καὶ τὰ ΑΒ ΒΓ ἀσύμμετρά ἐστιν· εἰ γὰρ ἔσται σύμμετρα· μετρή-
σει τι αὐτὰ μέγεθος· μετρείτω [illegible] ἔστω· ἐπεὶ οὖν τὸ Δ
τὰ ΑΒ ΒΓ μετρεῖ· καὶ ὅλον
ἄρα τὸ ΑΓ μετρήσει· μετρεῖ
δὲ καὶ τὸ ΑΒ· τὸ Δ ἄρα τὰ
ΓΑ ΑΒ μετρεῖ· σύμμετρα
ἄρα ἐστὶ τὰ ΓΑ ΑΒ· ὑπό-
κειται δὲ ἀσύμμετρα· ὅ-
περ ἐστὶν ἀδύνατον· οὐ-
κ ἄρα τὰ ΑΒ ΒΓ μετρήσει
τι μέγεθος· ἀσύμμετρα
ἄρα ἐστὶ τὰ ΑΒ ΒΓ· ἐὰν ἄρα δύο μεγέθη. καὶ τὰ ἑξῆς :



+ λῆμμα :

Ἐὰν παρά τινα εὐθεῖαν παραβληθῇ παραλληλόγραμμον
ἐλλεῖπον εἴδει τετραγώνῳ· τὸ παραβληθὲν ἴσον ἐστὶ
τῷ ὑπὸ τῶν ἐκ τῆς παραβολῆς γενομένων τμη-
μάτων τῆς εὐθείας· παρὰ γάρ τινα εὐθεῖαν τὴν
ΑΒ παραβεβλήσθω τὸ ΑΔ παραλληλόγραμμον
ἐλλεῖπον εἴδει τετραγώνῳ τῷ ΔΒ· λέγω ὅτι ἴσον
ἐστὶ τὸ ΑΔ τῷ ὑπὸ τῶν ΑΓ ΓΒ· καί ἐστιν αὐτόθεν

[illegible]

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo